www.tezaurliturgic.ro

**ΑΚΟΛΟΥΘΙΑ**
**ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΔΟΥΚΑ**

Οὗ ἡ Μνήμη τῇ κδ′ Ἀπριλίου.

Ποιηθεῖσα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος γ′. Μεγάλη τοῦ Σταυροῦ σου.

Τιμήσωμεν ἐν ὕμνοις, σήμερον φιλέορτοι, τὸν νέον Ἀθλοφόρον, τοῦ Ζωοδότου Δούκαν· ἀλογήσας γὰρ σαρκὸς βασάνων καὶ θανάτου, καρτερικῶς ἤθλησεν· ὅθεν πρεσβεύει νῦν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εὐφραίνου Μυτιλήνη, ἄνθος εὐωδέστατον, βλαστήσασα Κυρίου, τὸν Ἀθλοφόρον Δούκαν, τὸν τυράννων δυσσεβῶν τὸ θράσος καθελόντα, μαρτυρικῇ χάριτι, καὶ νῦν πρεσβεύοντα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὑ῾πῆλθες μαρτυρίου, δρόμον τὸν ἐπίπονον, νεότητος καὶ κάλλους, καταφρονήσας Δούκα, καὶ ἐν χώρᾳ τῆς τρυφῆς κατέπαυσας ἐκλάμπων, μαρτυρικοῖς κάλλεσιν· ὅθεν ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Φυλάττων σωφροσύνην, Δούκα παμμακάριστε, καὶ πίστεως τὴν χάριν, ἐν τῇ καρδίᾳ φέρων, στρατιώτης εὐκλεὴς καὶ Μάρτυς τροπαιοῦχος, τοῦ Ἰησοῦ γέγονας· ᾧ καὶ πρεσβεύεις νῦν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος βαρύς.

Ο῾ Χριστοῦ ἀκαθαίρετος ὁπλίτης, Νεομάρτυς Δούκα ἔνδοξε, τῆς Μυτιλήνης ἡ δόξα καὶ τὸ καύχημα, τοὺς ἐκτελοῦντας εὐσεβῶς, τὴν πάνσεπτον μνήμην σου, διάσῳζε ἐκ πάσης περιστάσεως, ταῖς εὐπροσδέκτοις πρεσβείαις σου, πρὸς Θεὸν τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Θεοτοκίον.

Ὄρος θεῖον ἅγιον, εἶδέ σε ὁ Δανιήλ, καὶ Ἡσαΐας δὲ ὁ σοφός, Μητέρα Θεοῦ ἐκήρυξέ σε Σεμνή, Θεὸν ἐν σαρκὶ χωρήσασαν, τὸν Ἀδὰμ πλαστουργήσαντα, ὃν τὰ Χερουβεὶμ ἐτρόμαξαν σαρκούμενον, ὑμνοῦντα

www.tezaurliturgic.ro

καὶ δοξάζοντα, ἀσιγήτῳ τρισαγίᾳ φωνῇ· ἀλλὰ τοῦτον αἴτησαι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις ὁ εὐθαλής, βλαστὸς τῆς Μυτιλήνης, Δούκα Κυρίου Μάρτυς· τοὺς σὲ ἀνευφημοῦντας, ἐκ θλίψεων διάσῳζε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Πλάνης Ἀγαρηνῶν, ἐλέγξας Μάρτυς Δούκα, τὸ φρύαγμα ἀνδρείως, μαρτυρικῶς τοῦ βίου, τὸ στάδιον ἐτέλεσας.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἤθλησας ἀνδρικῶς, φυλάττων σωφροσύνης, τοὺς ὅρους Μάρτυς Δούκα· διὸ ἐδόξασέ σε, Τριὰς ἡ ὁμοούσιος.

Δόξα. Ἦχος πλ. β΄.

Ἐν νεότητι σώματος, μαρτυρικὸν ἀγῶνα ἀγωνισάμενος, τὸν παλαιὸν τῇ κακίᾳ κατήσχυνας, καὶ τὴν εὐσέβειαν ἐτράνωσας, Δούκα Νεομαρτύρων τὸ καύχημα. Ὅθεν ἐν οὐρανοῖς, Μαρτύρων τῆς χαρᾶς ἀξιούμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Νεομάρτυρα Δούκαν, δεῦτε τιμήσωμεν, τῶν εὐσεβῶν οἱ δῆμοι, συμφωνίᾳ ᾀσμάτων· οὗτος γὰρ πατήσας μαρτυρικῶς, τῶν τυράννων τὴν ἔπαρσιν, στεφανηφόρος χορεύει ἐν οὐρανοῖς, καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Τῆς σωφροσύνης τῇ αἴγλῃ, περιλαμπόμενος, τοῦ ἀσεβοῦς γυναίου, ἀπεκρούσω τὴν γνώμην, καὶ ἤθλησας βασάνους καθυποστάς, καὶ δορᾶς τὴν ἀφαίρεσιν· διὸ Χριστός ὁ Θεός σε Δούκα σοφέ, θείᾳ δόξῃ ἐστεφάνωσε.

Τοῦ Ἰωσὴφ τοῦ παγκάλου, ἐκμιμησάμενος, ὑπὲρ τῆς σωφροσύνης, τὴν στεῤῥότητα Δούκα, διέδραμες τὰ σκῶλα τοῦ πονηροῦ, καὶ αὐτὸν κατετρόπωσας, ἐν μαρτυρίου παμμάκαρ τῇ συμπλοκῇ, ὡς Χριστοῦ ὁπλίτης ἄριστος.

Α᾽πεκδυθεὶς τὴν δοράν σου, τῷ μαρτυρίῳ σου, χιτῶνα ἠμφιάσω, ὑφαντὸν ἐκ τῆς ἄνω, χάριτος ὦ Δούκα καὶ τῆς ζωῆς, τὸν νυμφῶνα κατέλαβες, ἐν ᾧ Ἁγίων τοῖς δήμοις χοροβατεῖς, καὶ πρεσβεύεις τοῦ σωθῆναι ἡμᾶς.

Ε᾽κ Μυτιλήνης ὡς μέγας, ἐξανατείλας φωστήρ, διὰ τοῦ μαρτυρίου, ἐν δουλείας τῷ σκότει, φωτίζεις Ἐκκλησίας Δούκα σοφέ, ἐσαεὶ τὸ στερέωμα, καὶ δᾳδουχεῖς εὐσεβείας πρὸς τὴν ὁδόν, τοὺς ὑμνοῦντάς σου τὴν ἄθλησιν.

Μαρτυρικῶς ἀριστεύσας, Δούκα μακάριε, ἐν οὐρανοῖς τῶν πόνων, τῶν μισθὸν ἐκομίσω· διὸ ἐν παῤῥησίᾳ ὑπὲρ ἡμῶν, τὸν Σωτῆρα ἱκέτευε, ἵνα ῥυσθῶμεν ἐκ πάσης ἐπιβουλῆς, οἱ τελοῦντές σου τὴν μνήμην πιστῶς.

Δόξα. Ἦχος πλ. α΄.

Πνευματικῶς εὐφρανθῶμεν σήμερον φιλέορτοι, ἐπὶ τῇ σεβασμίᾳ πανηγύρει, Δούκα τοῦ Νεομάρτυρος. Οὗτος γὰρ ἐν εὐσεβείας ἀγωγῇ διαπρέπων, τῆς ἀσεβοῦς γυναικός, ὡς ἄλλος Ἰωσήφ, τὴν ἀκόλαστον γνώμην ἀπώσατο, καὶ μαρτυρίου τὸ στάδιον ἐτέλεσεν, ἄνθος νεότητος καὶ κάλλος σώματος, εἰς οὐδὲν λογισάμενος, ἀλλὰ πάντα ὡς σκύβαλα ἡγησάμενος, ἵνα Χριστὸν κερδήσῃ, τὸν ἐκ νεκρῶν ἀναστάντα Κύριον· ᾧ καὶ πρεσβεύει ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾽ν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης, εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ, Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε, Γαβριὴλ ὑπηρέτης τοῦ

θαύματος. Τότε, τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δέ, τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα, μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος, μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ', 9-14)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀναγγελεῖ ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ᾿ ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε', 15-στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας,

καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου Μυτιλήνη, τοιοῦτον βλαστήσασα βλαστόν, Δούκαν τὸν Νεομάρτυρα, τὸν ἐν Κωνσταντινουπόλει, τὸν καλὸν ἀγῶνα ἀγωνισάμενον, καὶ ἐν αὐτῇ θριαμβεύσαντα, τὸν πονηρὸν κοσμοκράτορα· τὸν ἐν σκότει τῆς δουλείας, τῶν ἀλλοφύλων τυράννων, ὡς ἥλιον ἐξανατείλαντα, καὶ καταυγάσαντα Ἐκκλησίας τὸ στερέωμα· τὸν στρατιώτην τοῦ Χριστοῦ, καὶ ὁπλίτην τῆς εὐσεβείας, τὸν ὑπὲρ σοῦ Θεῷ ἐντυχάνοντα, καὶ διασῴζοντα ἀπὸ παντοίων λυπηρῶν, τῶν ἐκτελούντων ἐν ὕμνοις, τὸ μνήμην αὐτοῦ τὴν πανσέβαστον.

Ὁ αὐτός.

Νέος ὢν τὸ σῶμα κομιδῇ, τὸν παλαιὸν ἐν κακίᾳ, ἐν μαρτυρίου συμπλοκῇ κατετρόπωσας, Δούκα θεομακάριστε· διὸ στέφανον νικητικόν, οὐρανόθεν κομισάμενος, ἐν ταῖς αὐλαῖς τῆς αἰωνίου ζωῆς , τοῖς ἀπ᾿ αἰῶνος Ἁγίοις χοροβατεῖς, καὶ πρεσβεύεις ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Τὴν σωφροσύνης τὸ ἔνδυμα, ἀπειργάσω λαμπρότερον, τῇ ἐκχύσει τῶν τιμίων αἱμάτων σου, Δούκα θεομακάριστε· οὐδόλως γὰρ ἐχαυνώθης, ἐπαγγελίαις τῶν προσκαίρων ἀγαθῶν, οὐδὲ ὑπέκυψας ταῖς ἡδοναῖς τῆς σαρκός, ἀλλὰ τὸν θησαυρὸν τῆς πίστεως, ἀκέραιον διεφύλαξας, καὶ

ἐταπείνωσας ἀσεβείας ὑψώματα. Ὅθεν διὰ θανάτου, πρὸς τὴν αἰωνίζουσαν ζωὴν μεταστάς, τὰ γέρα τῶν πόνων ἀπείληφας, καὶ παρέστης τῷ Χριστῷ, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. α'.

Τὸν θησαυρὸν τῆς ψυχῆς σου, συλῆσαι πειραθεὶς ὁ παγκάκιστος, πρὸς τῶν ποδῶν σου ὡράθη, ὡς στρουθίον ἀνίσχυρον παιζόμενος, Δούκα Νεομαρτύρων ἐγκαλλώπισμα· τῆς ἐνοικούσης γὰρ ἐν σοὶ σωφροσύνης, ἀκηλίδωτον φυλάξας τὴν εὐπρέπειαν, ταῖς ῥοαῖς τῶν μαρτυρικῶν σου αἱμάτων, λαμπροτέραν ταύτην ἀνέδειξας, καὶ ὡς δῶρον εὐαπόδεκτον, ταύτην προσενήνοχας, τῷ ἀθλοθέτῃ Χριστῷ τῷ Θεῷ. Αὐτῷ οὖν πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ὑμνούντων σε.

Δόξα. Ἦχος πλ. δ'.

Τῇ ἀφαιρέσει τῆς δορᾶς, τῆς φθορᾶς ἀποβαλὼν τὸν χιτῶνα, ἀθανασίας ἠμφιάσω τὸ ἔνδυμα, καὶ ὅλος πεποικιλμένος, τοῦ μαρτυρίου τοῖς στίγμασι, εἰς Χριστοῦ τὸν νυμφῶνα εἰσελήλυθας, Δούκα Νεομάρτυς πανεύφημε. Ὅθεν ἐν αὐτῷ, εἰς ἁγιασμόν τοῦ μαρτυρίου σου, τοὺς ὑπὲρ ἄνθρωπον πόνους κτησάμενος, καὶ ἄῤῥητον τὴν θέωσιν ὑφιστάμενος, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐπιτελούντων ἀξίως, τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Μυτιλήνης τὸ βλάστημα, Βυζαντίου τὸ καύχημα, Δούκαν τὸν μακάριον εὐφημήσωμεν, ὅτι Χριστῷ ἀνακείμενος, τὸν λόγον τῆς πίστεως, ἀνεκήρυξεν ἐχθρῶν, ἀλλοφύλων ἐνώπιον, καὶ ἐνήθλησεν, ἀλλοτρίῳ ἐν σώματι καθάπερ, τὰς βασάνους ὑπομείνας, καὶ τῆς δορᾶς τὴν ἀφαίρεσιν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἰωσὴφ ὥσπερ δεύτερος, ἀντετάξω στεῤῥότατα, γυναικὸς παράφρονος τῇ φαυλότητι, καὶ ἐντολὴν διεφύλαξας, Χριστοῦ τὴν σωτήριον, ἀφειδήσας τῆς σαρκός, τῶν ποικίλων κολάσεων· ὅθεν γέγονας, εὐσεβείας ὦ Δούκα νέος Μάρτυς, καὶ παρέστης τῷ Δεσπότῃ, διαπαντὸς εὐφραινόμενος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ω῾ς ἀρνίον σε ἄκακον, συλλαβόντες οἱ τύραννοι, πρὸς σφαγὴν ὡδήγησαν ἐθελούσιον, καὶ τοῦ Κυρίου σε Μάρτυρα, γενναῖον ἀνέδειξαν, καὶ τῆς μάνδρας τῆς ζωῆς, Δούκα θεῖον οἰκήτορα, δοξαζόμενον, ἀθανάτῳ εὐκλείᾳ εἰς αἰῶνας, καὶ θερμῶς ὑπερμαχοῦντα, τοῦ Ὀρθοδόξου πληρώματος.

Δόξα. Ἦχος πλ. β΄.

Τῆς σωφροσύνης τὴν στήλην, καὶ εὐσεβείας τὸ ἄγαλμα, Δούκαν τὸν ἀοίδιμον, ἐγκωμίοις τιμήσωμεν· νεανίας γὰρ ὑπάρχων εὐπρεπής, ταῖς ἡδοναῖς τῆς σαρκός, οὐδόλως ὑπέκυψε, καὶ τῆς ψυχῆς τὸ καθαρόν, τοῦ μαρτυρίου τοῖς πόνοις, ἀκέραιον διεφύλαξε· διὸ νίκης τρόπαιον, ἀθάνατον ἀράμενος, τῷ ἀθλοθέτῃ Χριστῷ, ἐν τοῖς ἐπουρανίοις παρέστη, Μάρτυσι τοῖς ἀπ᾿ αἰώνων χοροβατῶν , καὶ πρεσβεύων σὺν αὐτοῖς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ι᾿ωσὴφ τοῦ παγκάλου, τῆς ψυχῆς τὴν εὐγένειαν, οἷα νεανίας ὡραῖος, μιμησάμενος ἔνδοξε, Μαρτύρων ἀνεδείχθης μιμητής, καὶ τούτων ἐν ὑψίστοις κοινωνός· διὰ τοῦτο πάντες Δούκα οἱ εὐσεβεῖς, τιμῶντές σε ἐκβοῶμεν· Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, ῥύστην καὶ πρόμαχον.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Ε῎ργοις ἔλαμψας, τῆς σωφροσύνης, ἄθλους ἤνυσας, τοῦ μαρτυρίου, καὶ τῶν τυράννων τὸ θράσος ἐπάτησας· διὸ Χριστὸς ὁ Θεός σε ἐδόξασε, καὶ Ἐκκλησίας φωστῆρα ἀνέδειξε, Δούκα ἔνδοξε· ᾧ πρέσβευε τοῦ δωρήσασθαι, εἰρήνην τοῖς πιστοῖς, χάριν καὶ ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.
Ἦχος α′. Τὸν τάφον σου.

Τὴν μνήμην σου πιστῶς, δεξιούμενοι Δούκα, ἐν ὕμνοις καὶ ᾠδαῖς, τῇ παρούσῃ ἡμέρᾳ, δοξάζομεν τὸν Κύριον, τὸν τρανῶς σε δοξάσαντα· ὃν ἱκέτευε, μαρτυρικῇ παῤῥησίᾳ, τοῦ δωρήσασθαι, παραπτωμάτων τὴν λύσιν, ἡμῖν τοῖς τιμῶσί σε.

Θεοτοκίον.

Παρθένε ἀγαθή, τοῖς ἱκέταις σου ἴθι, βοήθεια στεῤῥά, προστασία καὶ σκέπη, ὡς εὔσπλαγχνος ὑπάρχουσα, συμπαθὴς καὶ φιλάνθρωπος· σοὶ γὰρ Δέσποινα, ἐν ταῖς τοῦ βίου ἀνάγκαις, καταφεύγομεν, καὶ ὡς Θεοῦ σε Μητέρα, ἀεὶ μακαρίζομεν.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ′. Θείας πίστεως.

Θείας πίστεως, διεζωσμένος, Δούκα ἔνδοξε, τὴν παντευχίαν, μαρτυρίου ἐν τῇ πάλῃ ἠρίστευσας, καὶ δυσμενῶν παρατάξεις ἐνίκησας, ὡς τοῦ Χριστοῦ στρατιώτης ἀήττητος. Ὅθεν πρέσβευε, αὐτῷ ἐκτενῶς πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Χριστῷ ἀνακείμενος, τῷ Λυτρωτῇ τῶν ψυχῶν, ἐχθροῦ τοῦ ἀλάστορος, τὴν ἐπηρμένην ὀφρύν, τοῖς ἄθλοις ἐπάτησας· ἔλαμψας ὥσπερ λύχνος, μαρτυρίου τῇ δόξῃ, φαίνων τῇ Ἐκκλησίᾳ, εὐσεβείας τὴν χάριν· διό σε Μάρτυς Δούκα πιστοί, ἀεὶ μακαρίζομεν.

Θεοτοκίον.
Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς

πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς Θεοτόκου μόνε Φιλάνθρωπε.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ κγ΄ Ἀπριλίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Νεομάρτυς Δούκα, τῆς Μυτιλήνης τὸ βλάστημα, ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ, τοῦ μαρτυρίου τελέσας τὸν ἀγῶνα, δόξῃ τε καὶ τιμῇ ἐστεφάνωσαι· ἄνθους γὰρ νεότητος, καὶ σώματος κάλλους καταφρονήσας, τὰς βασάνους ὑπέμεινας, καὶ δορᾶς τὴν ἀφαίρεσιν . Ἀλλ' ὡς τῆς ἀθανάτου, ἐν ὑψίστοις λαβόμενος ζωῆς, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄, καὶ τοῦ Ἁγίου ὁμοίως εἰς στ΄. Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχὶς ἐν τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠιδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Δούκαν συμφώνως οἱ πιστοὶ τιμήσωμεν, τὸν ἀθλητὴν τοῦ Χριστοῦ, τῶν Νεομαρτύρων, κλέος τὸ περίδοξον· αὐτοῦ γὰρ ἐξανέτειλεν, ἡ ὑπέρφωτος μνήμη, τῆς Ἐκκλησίας τὸ πλήρωμα, χάριτος φωτὶ καταυγάζουσα.

Ω῾ς νεανίας εὐπρεπὴς ἐφύλαξας, τῆς εὐσεβείας πιστῶς, ἐν τῇ σῇ καρδίᾳ, θησαυρὸν τὸν τίμιον, καὶ τοῦτον ἐπλεόνασας, ὑπὲρ φύσιν τελέσας, τοῦ μαρτυρίου τὸν δίαυλον, Δούκα ἀθλητὰ παμμακάριστε.

Ε᾿κ ῥιζουχίας εὐσεβοῦς ἐβλάστησας, καθάπερ θεῖος βλαστός, καὶ ἐν μαρτυρίου, τῷ καιρῷ ἐξήνθησας, ὡς ῥόδον εὐωδέστατον, ὡς μυρίπνοον κρῖνον, εὐωδιάζων τὰ σύμπαντα, Δούκα τοῦ Χριστοῦ Μάρτυς ἄριστε.

Θεοτοκίον.

Καταιγιζόμενος σφοδρῶς ὁ ἄθλιος, ταῖς προσβολαῖς τῶν παθῶν, καὶ εἰς ἁμαρτίας, κινδυνεύων βάραθρα, τῇ μητρικῇ σου χάριτι, καταφεύγω κραυγάζων· Ἀντιλαβοῦ μου καὶ σῶσόν με, Μῆτερ τοῦ Κυρίου ὡς εὔσπλαγχνος.

Ὠιδὴ γ′. Οὐρανίας ἁψῖδος.

Γυναικὸς ἀκολάστου, ὡς νουνεχὴς ἔνδοξε, γνώμῃ ψυχολέθρῳ τῇ πίστει, ἀντιταξάμενος, ἄσυλον ἄφθορον, τῆς σωφροσύνης τὸν πλοῦτον, ἐν σοὶ διεφύλαξας, Δούκα μακάριε.

Ἰ ωσὴφ ὥσπερ ἄλλος, ἁμαρτωλὸν γύναιον, ἀπὸ σοῦ παμμάκαρ ἀπώσω, καθάπερ βδέλυγμα, ὡς ἀντεχόμενος, Χριστοῦ ὦ Δούκα τῷ λόγῳ, ὑπὲρ οὗ καὶ ἤθλησας, καθάπερ ἄσαρκος.

Σωφροσύνην φυλάττων, ὡς θησαυρὸν ἄφθορον, τοῖς θεοστυγέσι παρέστης, κριταῖς κρινόμενος, καὶ τούτων ᾔσχυνας, τὸ ἀσεβὲς ἐν τοῖς λόγοις, οἷς τὸ Πνεῦμα Δούκα σοι, δέδωκε φθέγγεσθαι.

Θεοτοκίον.

Ὑ περάμωμε Κόρη, ἡ τὸν Θεὸν τέξασα, καὶ τὴν σωτηρίαν τῷ κόσμῳ, ἐξανατείλασα, τῆς συμπαθείας σου, μή με στερήσῃς Παρθένε· σὲ γὰρ καὶ ἐπίσταμαι, μόνην βοήθειαν.

Κάθισμα. Ἦχος πλ. δ′. Τὴν Σοφίαν καὶ Λόγον.

Σωφροσύνης φυλάττων τὸν θησαυρόν, ἀντετάξω γυναίῳ τῷ ἀσεβεῖ, καὶ ῥώμῃ τῆς πίστεως, πρὸς ἀγῶνας ἐχώρησας, τοῦ μαρτυρίου χαίρων, ἐν ᾧ κατετρόπωσας, ἐχθρῶν τὼν ἀλλοφύλων, τὴν βλάσφημον ἔπαρσιν· ὅθεν τοὺς στεφάνους, Μάρτυς Δούκα τῆς νίκης, ὑψόθεν δεξάμενος, τῷ Δεσπότῃ παρίστασαι, σὺν Μαρτύρων τοῖς τάγμασι, πρεσβεύων παῤῥησίᾳ αὐτῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν κόσμον συνέχοντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν πάντας ἐκτρέφοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα βαστάζοντα· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν

μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, Δέσποινα Παρθένε ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠιδὴ δʹ. Σύ μου ἰσχύς.

Α᾿θλητικῶς, ἀγωνισάμενος Ἅγιε, ἐν ἡμέραις, τῆς πικρᾶς χειρώσεως, τὸν δι᾿ ἡμᾶς πάθος ἐν Σταυρῷ, τίμιον ὦ Δούκα, καταδεξάμενον Κύριον, ἀξίως ἐμιμήσω, καὶ αὐτοῦ ἐν τῇ δόξῃ, διαλάμπων εἰσῆλθες τοῖς στίγμασιν.

Ρ῾ώμῃ Χριστοῦ, καθυπομείνας τὴν ἔφοδον, τῶν βασάνων, Δούκα ὥσπερ ἄσαρκος, καὶ τὴν δοράν σου ἀφαιρεθείς, τὸ τοῦ σωτηρίου, περιεβάλου ἱμάτιον, καὶ ὅλος λαμπροφόρος, ἐν τῇ ἐπουρανίῳ, ἐκλεκτῶν Μητροπόλει κατέπαυσας.

Ε᾿ν τῷ βυθῷ, τῷ θαλασσίῳ σοῦ σώματος, ἀπεῤῥίφθη, ἡ δορὰ πολύαθλε, ἀλλὰ σὸν πνεῦμα ἐν οὐρανοῖς , μετέστη Μαρτύρων , συναριθμούμενον τάξεσι· μεθ᾿ ὧν ἀεὶ ἐξαίτει, παῤῥησίᾳ ὦ Δούκα, τοῖς τιμῶσί σε χάριν καὶ ἔλεος.

Θεοτοκίον.

Ρ῾ῦσαι Ἁγνή , ἁμαρτιῶν ἀδοξίας με , κάθαρόν με , ἀνομίας πράξεων , ἀλλοτριούντων με τοῦ ἐκ σοῦ, ἀσπόρως τεχθέντος, δι᾿ ἀγαθότητα ἄφατον, καὶ δίδου μετανοίας, τὴν σωτήριον τρίβον, ἐν παντί μου τῷ βίῳ πορεύεσθαι.

Ὠιδὴ εʹ. Φώτισον ἡμᾶς.

Φροῦδα τὰ ἐν γῇ, Μάρτυς Δούκα λογισάμενος, τοῦ Σωτῆρος ἀνεκήρυξας τρανῶς, παρανόμοις δικασταῖς τὸ θεῖον ὄνομα.

Κάλλους τοῦ φθαρτοῦ, καὶ νεότητος τοῦ σώματος, κατεφρόνησας καὶ ὤφθης μιμητής, ἀκριβέστατος Χριστοῦ Δούκα τοῖς ἄθλοις σου.

Χαίροις ὁ βλαστός, Μυτιλήνης ὁ θαυμάσιος, ὁ ἐν Μάρτυρι γενναῖος καὶ στεῤῥός, ὁ αἰσχύνας τῶν ἐχθρῶν τὰ πανουργεύματα.

Θεοτοκίον

Ι῎δε συμπαθῶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, καὶ παράσχου μοι ὑγείαν σταθηράν, ἡ τὸν μέγαν ἰατρὸν Χριστὸν κυήσασα.

www.tezaurliturgic.ro

Ὠιδὴ στʹ. Τὴν δέησιν.

Τὸν Πάγκαλον Ἰωσὴφ μιμούμενος, ἀντετάξω τῷ κακίστῳ γυναίῳ, καὶ παρεδόθης κριταῖς ἀδικίαις, οὓς καὶ κατέκρινας Δούκα φθεγγόμενος· Ἐγὼ λατρεύω τὸν Χριστόν, ὡς Σωτῆρα τοῦ κόσμου καὶ Κύριον.

Τῆς πίστεως τοῦ Χριστοῦ τῆς στάσεως , ἐν βασάνοις οὐδαμῶς ἐσαλεύθης , ἀλλ᾽ ἐν αὐτοῖς διεσάλευσας Δούκα, τῆς τῶν ἐχθρῶν ἀπιστίας θεμέλια, καὶ ὤφθης Μάρτυς εὐκλεής, τὴν σφαγὴν ὡς ἀρνίον δεξάμενος.

Τό ἄϋλον τοῦ Χριστοῦ τῆς ἀγάπης, ἐν καρδίᾳ σου πῦρ Δούκα κατέχων, ἐν σωφροσύνης διέπρεψας ἔργοις, καὶ ὑπὲρ ταύτης τὸν βίον ἐτέλεσας, ὡς σφάγιον ἀποδαρείς, καὶ δεξάμενος χαίρων τὸν θάνατον.

Θεοτοκίον.

Λαμπάδα σε μυστικὴν γινώσκοντες, τοῦ φωτὸς τοῦ ἀνεσπέρου Παρθένε, ἐσκοτισμένοι κακίας τοῖς ἔργοις, σοὶ εὐλαβῶς καταφεύγομεν κράζοντες· Ἀνάτειλον Μῆτερ ἡμῖν, μετανοίας αὐγὴν τὴν σωτήριον.

Κοντάκιον. Ἦχος πλ. δʹ. Τῇ Ὑπερμάχῳ.

Τὸν Νεομάρτυρα πιστοὶ Δούκαν τιμήσωμεν,
τῆς σωφροσύνης ἐν Χριστῷ τὸ ἐξεικόνισμα,
τὸν αἰσχύναντα τυράννων τὴν δυναστείαν·
συγχορεύων γὰρ Μαρτύρων τῷ στρατεύματι,
πρυτανεύει τῶν θαυμάτων τὰ χαρίσματα,
τοῖς κραυγάζουσι· Χαίροις, Μάρτυς πολύαθλε.

Ὁ Οἶκος.

Σωφροσύνην φυλάττων, γυναικὶ ἀκολάστῳ, ὡς ἄλλος Ἰωσὴφ ἀντετάξω, καὶ τοῖς τυράννοις διαβληθείς, ἀδίκῳ ψήφῳ ἀρνίον ὡς ἄκακον, ἐτύθης Δούκα ἔνδοξε· διό σοι πάντες ἐκβοῶμεν·
Χαῖρε, τὸ ἄνθος τῆς εὐψυχίας·
χαῖρε, τὸ ῥόδον τῆς εὐτονίας.
Χαῖρε, Μυτιλήνης τὸ τίμιον βλάστημα·
χαῖρε, Ἐκκλησίας τὸ νέον ἀγλάϊσμα.
Χαῖρε, πίστεως παράδειγμα, σωφροσύνης ἡ εἰκών·
χαῖρε, χάριτος ἀπάνθισμα, καὶ ἀνδρείας ὁ κανών·
Χαῖρε, ὅτι ἀπώσω τὰς ἐχθρῶν κολακείας.
χαῖρε, ὅτι καθεῖλες δυσμενῶν μεθοδείας·
Χαῖρε, Μαρτύρων θεῖος συνόμιλος·

χαῖρε, Ἁγίων πάντων συμμέτοχος.
Χαῖρε, φωστὴρ νοητὸς εὐσεβείας·
χαῖρε, ἀκτὶς μυστικῆς δᾳδουχίας.
Χαίροις, Μάρτυς πολύαθλε.

Μηνολόγιον.

Τῇ ΙΔ′ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Δούκα τοῦ Μυτιληναίου, ἀθλήσαντος ἐν Κωνσταντινουπόλει ἐν ἔτει αυξδ′ (1564).

Στίχοι.
Ἄφθαρτον ζωῆς ἔνδυμα ἐνεδύσω,
Ὡς ἀπεκδυθεὶς σώματος δορὰν Δούκα.
Εἰκοστῇ τετάρτῃ Δούκας ἤθλησεν ἀποδαρείς.

Συναξάριον.

Οὗτος ὁ νέος τοῦ Χριστοῦ Ἀθλητὴς καὶ καλλίνικος Μάρτυς τῆς εὐσεβείας, πατρίδα μὲν ἔσχε τὴν Μυτιλήνην, ἐποιεῖτο δὲ τὰς διατριβὰς ἐν Κωνσταντινουπόλει τὸ τοῦ ῥάπτου ἐπιτήδευμα μετερχόμενος. Νέος ὢν τῇ ἡλικίᾳ καὶ ὡραῖος τῇ ὄψει καὶ τῷ σώματι, ἐπεσκέπτετο συχνάκις πρὸς ἐργασίαν τὴν οἰκίαν Ὀθωμανοῦ τινός στρατάρχου, οὗτινος πρὸς καιρὸν ἐν τῷ στρατεύματι ἀπουσιάζοντος ἡ σύμβιος αὐτοῦ ἔρωτι σατανικῷ κινηθεῖσα ἐβουλεύσατο συμιγῆναι τῷ σώφρονι Δούκᾳ, ἀλλ᾽ οὗτος ὡς ἄλλος Ἰωσήφ, μὴ συγκατανεύσας τῇ ἁμαρτωλῷ τῆς γυναικὸς ἐπιθυμίᾳ, ἀνεχώρησε δρομαῖος ἐκεῖθεν φεύγων τὴν ἁμαρτίαν. Αὕτη δὲ ὀργισθεῖσα ἐπορεύθη τῷ κριτῇ κατηγορήσασα τὸν δίκαιον ὡς αἰσχρῶς παρενοχλήσαντα αὐτὴν.

Συλληφθεὶς οὖν τότε ὁ μακάριος προσηνέχθη τῷ κριτῇ, ὅστις κατηγορήσας αὐτόν, ὡς θελήσαντα ἀτιμᾶσαι τὸ ἀκόλαστον ἐκεῖνον γύναιον, ἐζήτησε παρ᾽ αὐτοῦ πρὸς ἀποφυγὴν τῆς εἰς θάνατον καταδίκης ἵνα ἀποστῇ τῆς πατρῴας πίστεως καὶ ἀσπασθῇ τὴν τῶν Ἀγαρηνῶν ἀπιστίαν, ὑποσχόμενος μεγαλοστόμους ἐπαγγελίας καὶ δαψιλεῖς δωρεάς, εἰ συνταχθῇ τῇ πλάνῃ καὶ ὑπαχθῇ τῇ Ὀθωμανικῇ ἀσεβείᾳ· πρὸς δὲ καὶ τιμωρίας ἐπαπειλησάμενος πρὸς ἐκφοβισμόν . Ἀλλ᾽ ὁ ἀο ίδιμος εἰς οὐδὲν τὰς ἐπαγγελίας καὶ τὰς ἀπειλὰς λογισάμενος ἀντέταξε τοῖς ἀνόμοις τὴν καλὴν ὁμολογίαν λέγων ὅτι Χριστιανὸς ἐγεννήθη καὶ Χριστανὸς βούλεται ἀποθανεῖν. Ταύτην δὲ τὴν ὁμολογίαν ἀκούσας ὁ κριτὴς ἐθυμώθη λίαν καὶ παρέδωκε τὸν Μάρτυρα ταῖς βασάνοις, ὅστις ἀπηνῶς αἰκισθεὶς, ποικίλαις τε ἀλγηδόσι καὶ πόνοις σὺν μάστιξι δοκιμασθείς καὶ τὴν δορὰν τοῦ σώματος ἀφαιρεθεὶς τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο καὶ συνηριθμήθη τοῖς ἀπ᾽ αἰῶνος Μάρτυσι, ὧν τὸν ζῆλον ἐκτήσατο καὶ τοὺς ἄθλους ἐμιμήσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίας Ἐλισάβετ, τῆς θαυματουργοῦ.

Στίχοι.
Ἐλισάβετ, λιποῦσα γῆν, Θεοῦ Λόγε,
Καλὴ καλὸν βλέπει σε νύμφη νυμφίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σάββα τοῦ Στρατηλάτου.

Στίχοι.
Ἔπνιξε δεινὰ πνεύματα πλάνης Σάββας,
Ποταμόπνικτος Μάρτυς ὀφθεὶς Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων τῶν διὰ τοῦ Ἁγίου Σάββα πιστευσάντων ἑβδομήκοντα στρατιωτῶν, ξίφει τελειωθέντων.

Στίχοι.
Κάρας ἀριθμῶν τῷ ξίφει τετμημένας,
Εὕροις πεσόντας ἄνδρας ἑπτάκις δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Πασικράτους καὶ Βαλεντίωνος.

Στίχοι.
Ὁ Πασικράτης ἤρατο τμηθεὶς κράτος,
Βαλεντίωνος ἐκβαλὼν φόβον ξίφους.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Εὐσεβίου, Νέωνος, Λεοντίου, Λογγίνου καὶ ἑτέρων τεσσάρων.

Στίχοι.
Ἀριθμὸν ἰσάμιλλον ὀκτὼ Μαρτύρων,
Τὸν ἰσάκις τέμνουσιν ἴσον ἰσάκις.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζʹ. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀ ντεχόμενος Δούκα, εὐσεβείας τὸν λόγον, ὡς νεανίας καλός, φρονήματι ἁγίῳ, τὸ ὑπὲρ τοῦ Κυρίου, ἀνεδέξω μαρτύριον, καὶ ἀθανάτου ζωῆς, στεφάνῳ ἐκοσμήθης.

Ἀποῤῥίψας τυράννων, τὰς βλασφήμους θωπείας, καὶ τὰς φρικτὰς ἀπειλάς, τὸ στάδιον ἐπέβης, γενναίως τῶν Μαρτύρων, ἐν ᾧ Δούκα ἠρίστευσας, καταβαλὼν ἐν αὐτῷ, τοῦ ψεύδους τὸν στρατάρχην.

Μυτιλήνη καυχᾶται, τοῖς σπαργάνοις σου Δούκα, καὶ μεγαλύνει Χριστόν, ἥν στήριζε ἑδραῖαν, ἐν πίστεως τῇ πέτρᾳ, ὑπὲρ ταύτης δεόμενος, ἀκαταπαύστως Θεοῦ, τοῦ θαυμαστώσαντός σε.

Θεοτοκίον.

Λυτρωτὴν ἡ τεκοῦσα, τῶν ἀνθρώπων τῷ γένει, Εὐλογημένη Ἁγνή, κακίας ὀλεθρίου, ἐχθροῦ τοῦ ἀρχεκάκου, λύτρωσαί με κραυγάζοντα· Χαῖρε Μαρία δι᾽ ἧς, ἀνέτειλεν ἡ χάρις.

Ὠιδὴ η΄. Οἱ θεοῤῥήμονες Παῖδες.

Ἐν νεαρᾷ ἡλικίᾳ τοῦ μαρτυρίου, Δούκα ὁδὸν διανύσας, ἐν τοῖς ὑψίστοις κατέπαυσας, καὶ Μαρτύρων τῆς δόξης, ἐγένου συμμέτοχος.

Ὥσπερ ἀμνὸς Μάρτυς Δούκα ἀκολουθήσας, πρὸς τὴν σφαγὴν ἑκουσίως, τυράννων θράσος ἐφαύλισας, καὶ Μαρτύρων εἰσῆλθες, εἰς μάνδραν ἐπουράνιον.

Τὴν τῶν Μαρτύρων ζηλώσας Δούκα ἀνδρείαν , ἴσος αὐτοῖς ἀνεδείχθης , μεθ᾽ ὧν δυσώπει δεόμεθα, τὸν Δεσπότην σωθῆναι, τοὺς σὲ μακαρίζοντας.

Θεοτοκίον.

Ὀμβροβλυτοῦσα μὴ παύσῃ τῆς χάριτός σου, Θεοκυῆτορ τὸ ὕδωρ, τοῖς ἐκ καρδίας βοῶσί σοι· Χαῖρε Μῆτερ Παρθένε, Θεοῦ ἡ λοχεύτρια.

Ὠιδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐξήστραψας δουλείας ἐν τῇ νυκτί, ὡς φωστὴρ φωτοφόρος πολύαθλε, καὶ τὸν λαόν, τὸν ἐν τῇ σκοτίᾳ τῶν πειρασμῶν, οἰκτρῶς ταλαιπωρούμενον, Δούκα κατεφώτισας τηλαυγῶς· διό σε μακαρίζει, ἐν ὕμνοις ἐγκωμίων, τῶν Ὀρθοδόξων ἡ ὁμήγυρις.

Τῇ χάριτι Κυρίου δυναμωθείς, πειρασμῶν ἀνεδείχθης ἀνώτερος, Δούκα σοφέ, καὶ περιεγένου Ἀγαρηνῶν, ἀνδρείως τῆς φαυλότητος, χαίρων τὰς βασάνους καθυποστάς, ἀνθ᾽ ὧν ἐδέξω χάριν , πηγάζειν ἰαμάτων, τοῖς ἀσθενοῦσι τὰ δωρήματα.

Τιμῶμέν σε ἐν ὕμνοις οἱ εὐσεβεῖς, σὴν λαμπρὰν ἐκτελοῦντες πανήγυριν, Δούκα σοφέ, καὶ ἀγαλλιώμενοι τὰς ψυχάς, τῇ ἀθανάτῳ δόξῃ σου, πάντες σοι βοῶμεν μιᾷ φωνῇ· Ἐξαίτει τῶν πταισμάτων, συγχώρησιν παμμάκαρ, ἡμῖν τοῖς σφόδρα ἀγαπῶσί σε.

Θεοτοκίον.

Υ῾πέραγνε Μαρία τὸν Λυτρωτήν , δι᾽ ἡμᾶς ἀπειράνδρως ἐκύησας , δίχα τροπῆς, καὶ φυρμοῦ ὡς πάλαι οἱ θαυμαστοί, Προφῆτες προεκήρυξαν· ὅθεν σοῖ βοῶμεν χαρμονικῶς· Παρθένε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, χαῖρε τὸ μέγα ἐγκαλλώπισμα.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὴν σωφροσύνην φυλάττων, ὡς νεανίας εὐπρεπής, μαρτυρικῶς ἠγωνίσω, ἐν τῇ δυνάμει τοῦ Χριστοῦ, καὶ τῶν τυράννων καθεῖλες, τὴν ἔπαρσιν Μάρτυς Δούκα.

Ἕτερον. Ὅμοιον.

Τῆς ἀληθείας Δούκα, Μάρτυς ἐδείχθης ἐπὶ γῆς, καὶ ἐν ὑψίστοις Μαρτύρων, κατηξιώθης τῆς τιμῆς· διὸ μνημόνευε πάντων, τῶν εὐσεβῶς σε τιμώντων.

Θεοτοκίον.

Ε᾿λπὶς τῶν ἀπηλπισμένων, Πανύμνητε Θεοτόκε, μετὰ δακρύων βοῶ σοι, ἐκ βάθους μου τῆς καρδίας· Ἐξάρπασόν με Παρθένε, ἐκ τῶν τοῦ ᾅδου κευθμώνων.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ′. Ἔδωκας σημείωσιν.

Βίου καθαρότητος, καὶ σωφροσύνης καὶ πίστεως, διαλάμπων ταῖς πράξεσι, Μαρτύρων ἠγώνισαι, τὸν καλὸν ἀγῶνα, Δούκα θεοφόρε, καὶ ἐκοσμήθης ἱερῶς, ἀθανασίας τῷ διαδήματι, Κυρίῳ παριστάμενος, τῷ Βασιλεῖ τῶν δυνάμεων, καὶ παρέχων ἰάματα, τοῖς τελοῦσι τὴν μνήμην σου.

Γνώμην τὴν ψυχόλεθρον, τῆς ἀσεβοῦς ἀπωσάμενος, γυναικὸς Δούκα ἔνδοξε, ὡς σώφρων καὶ τίμιος, τῇ συκοφαντίᾳ, αὐτῆς παρεδόθης, τῆς ἀδικίας τοῖς κριταῖς, καὶ μαρτυρίου εὑρέθης ἄξιος· διό σε ἡ οὐράνιος, ἀναψυχὴ ὑπεδέξατο, ἐν ᾗ χαίρων μνημόνευε, τῶν τιμώντων τὰ ἆθλα σου.

Ε῎φοδον ἐνίκησας, τὴν κατὰ σοῦ τοῦ ἀλάστορος, τῇ γενναίᾳ ἐνστάσει σου, καὶ τούτου τὰς φάλαγγας, ἐν τοῖς τῶν αἱμάτων, ἀπέπνιξας ῥείθροις, καὶ νικηφόρος πρὸς Θεόν, μετέστης Δούκα ἀξιοθαύμαστε· διὸ ἀπαύστως πρέσβευε, ἵνα ῥυσθῶμεν ἐκ θλίψεων, πειρασμῶν καὶ κακώσεων, οἱ τὴν μνήμην σου σέβοντες.

Θῦμα ἱερώτατον, καὶ ἱερεῖον εὐπρόσδεκτον, καὶ τερπνὸν καλλιέρημα, Χριστῷ τῷ Δεσπότῃ σου, προσηνέχθης Δούκα, τυράννων μανίαν, ὡς νεανίας εὐπρεπής, καταπατήσας τῷ μαρτυρίῳ σου· διό σε μακαρίζομεν, ἐπιτελοῦντες τὴν μνήμην σου, καὶ θερμόν σε αἰτούμεθα, πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Α᾿νέτειλεν ἡμῖν, ἡ τοῦ Νεομάρτυρος εὐφρόσυνος πανήγυρις, τὰς διανοίας πιστῶν καταυγάζουσα, τῶν ἐν ἀγαλλιάσει βοώντων· Χαίροις ὁ εὐσεβείας τὴν ὁδόν, ἐν ἀκλινεῖ λογισμῷ βαδίσας, καὶ τοῦ ἀρχαίου ἐχθροῦ τὰ σκῦλα, διαδραμὼν ἰσχύϊ τῆς χάριτος· χαίροις ὁ ἐναντίον τῶν ἐχθρῶν, τοῦ Ἰησοῦ τὸ ὄνομα κηρύξας, καὶ τὰς βασάνους καθυπομείνας, καθάπερ ἀλλοτρίῳ ἐν σώματι· χαίροις ὁ τῇ ἀφαιρέσει τῆς δορᾶς , τὸ ἄφθαρτον ἐνδυσάμενος , ἀθανασίας ἱμάτιον . Ἀλλ᾽ ὦ Δούκα μακάριε , παῤῥησίαν ὡς ἔχων πρὸς Θεόν, τὴν εἰρήνην αἴτει, τοῖς τελοῦσι ἐν ὕμνοις τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠιδή. Ἀπόστολον ζήτει τῇ β΄ Σεπτεμβρίου καὶ Εὐαγγέλιον τῇ κστ΄ Ὀκτωβρίου, ἐν τῇ μνήμῃ τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου.

www.tezaurliturgic.ro

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τὸν τῆς Μυτιλήνης θεῖον βλαστόν, Δούκαν τὸν γενναῖον, εὐφημήσωμεν εὐσεβῶς, ὅτι σωφροσύνης, τῇ αἴγλῃ ἀπαστράπτων, ἐνήθλησεν ἀνδρείως, ὑπὲρ τῆς πίστεως.

Δίστιχον.
Ῥόδου ὁ ποιμήν, οὗ Κύριλλος ἡ κλῆσις,
Δούκα, εὐλαβῶς τοὺς ὕμνους ὕφανέν σοι.